ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς [7] ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξε.[8] πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον διϊσχυριζόμενον περὶ τῆς ἀναιρέσεως, ἑνὶ κεφαλαίῳ· τὴν μὲν, τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ, ταῖς τοῦ πατρὸς Θυέστου [9] ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους, Ὀλυμπιάδι ὀγδοηκόστῃ,[10] ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ.[11] ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

---

7. f. ὑπὸ (f. ἀπὸ) σκηνῆς 8. (ἀπέδειξε) 9. Ὀρέστου (Αἰγίσθου) 10. Conj. = εἰκοστῇ ὀγδόῃ vulg. 11. (πρῶτος σατυρικῷ).